[22]καὶ μετὰ ἄρσενος οὐ κοιμηθήσῃ κοίτην γυναικός· βδέλυγμα γάρ 22
ἐστιν. [23]καὶ πρὸς πᾶν τετράπουν οὐ δώσεις τὴν κοίτην σου εἰς 23
σπερματισμὸν ἐκμιανθῆναι πρὸς αὐτό, καὶ γυνὴ οὐ στήσεται πρὸς
πᾶν τετράπουν βιβασθῆναι· μυσερὸν γάρ ἐστιν.
[24]Μὴ μιαίνεσθε ἐν πᾶσιν τούτοις· ἐν πᾶσι γὰρ τούτοις ἐμιάν- 24
θησαν τὰ ἔθνη, ἃ ἐγὼ ἐξαποστέλλω πρὸ προσώπου ὑμῶν, [25]καὶ 25
ἐμιάνθη ἡ γῆ, καὶ ἀνταπέδωκα ἀδικίαν αὐτοῖς δι᾽ αὐτήν, καὶ προσ-
ώχθισεν ἡ γῆ τοῖς ἐγκαθημένοις ἐπ᾽ αὐτῆς. [26]καὶ φυλάξεσθε πάντα 26
τὰ νόμιμά μου καὶ πάντα τὰ προστάγματά μου καὶ οὐ ποιήσετε
ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ὁ ἐγχώριος καὶ ὁ προσ-
γενόμενος προσήλυτος ἐν ὑμῖν· [27]πάντα γὰρ τὰ βδελύγματα ταῦτα 27
ἐποίησαν οἱ ἄνθρωποι τῆς γῆς οἱ ὄντες πρότεροι ὑμῶν, καὶ ἐμιάν-
θη ἡ γῆ· [28]καὶ ἵνα μὴ προσοχθίσῃ ὑμῖν ἡ γῆ ἐν τῷ μιαίνειν ὑμᾶς 28
αὐτήν, ὃν τρόπον προσώχθισεν τοῖς ἔθνεσιν τοῖς πρὸ ὑμῶν. [29]ὅτι 29
πᾶς, ὃς ἂν ποιήσῃ ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ἐξολε-
θρευθήσονται αἱ ψυχαὶ αἱ ποιοῦσαι ἐκ τοῦ λαοῦ αὐτῶν. [30]καὶ φυλά- 30
ξετε τὰ προστάγματά μου, ὅπως μὴ ποιήσητε ἀπὸ πάντων τῶν
νομίμων τῶν ἐβδελυγμένων, ἃ γέγονεν πρὸ τοῦ ὑμᾶς, καὶ οὐ μιαν-
θήσεσθε ἐν αὐτοῖς· ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Λάλησον τῇ συνα- 19
γωγῇ τῶν υἱῶν Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἅγιοι ἔσεσθε, ὅτι
ἐγὼ ἅγιος, κύριος ὁ θεὸς ὑμῶν. [3]ἕκαστος πατέρα αὐτοῦ καὶ μη- 3
τέρα αὐτοῦ φοβείσθω, καὶ τὰ σάββατά μου φυλάξεσθε· ἐγὼ κύ-
ριος ὁ θεὸς ὑμῶν. [4]οὐκ ἐπακολουθήσετε εἰδώλοις καὶ θεοὺς χω- 4
νευτοὺς οὐ ποιήσετε ὑμῖν· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. — [5]καὶ ἐὰν 5
θύσητε θυσίαν σωτηρίου τῷ κυρίῳ, δεκτὴν ὑμῶν θύσετε. [6]ᾗ ἂν 6
ἡμέρᾳ θύσητε, βρωθήσεται καὶ τῇ αὔριον· καὶ ἐὰν καταλειφθῇ ἕως
ἡμέρας τρίτης, ἐν πυρὶ κατακαυθήσεται. [7]ἐὰν δὲ βρώσει βρωθῇ τῇ 7
ἡμέρᾳ τῇ τρίτῃ, ἄθυτόν ἐστιν, οὐ δεχθήσεται· [8]ὁ δὲ ἔσθων αὐτὸ 8
ἁμαρτίαν λήμψεται, ὅτι τὰ ἅγια κυρίου ἐβεβήλωσεν· καὶ ἐξολεθρευ-
θήσονται αἱ ψυχαὶ αἱ ἔσθουσαι ἐκ τοῦ λαοῦ αὐτῶν.
[9]Καὶ ἐκθεριζόντων ὑμῶν τὸν θερισμὸν τῆς γῆς ὑμῶν οὐ συν- 9
τελέσετε τὸν θερισμὸν ὑμῶν τοῦ ἀγροῦ ἐκθερίσαι καὶ τὰ ἀποπί-
πτοντα τοῦ θερισμοῦ σου οὐ συλλέξεις [10]καὶ τὸν ἀμπελῶνά σου 10
οὐκ ἐπανατρυγήσεις οὐδὲ τοὺς ῥῶγας τοῦ ἀμπελῶνός σου συλλέ-
ξεις· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ καταλείψεις αὐτά· ἐγώ εἰμι
κύριος ὁ θεὸς ὑμῶν.

22 γυναικος] -κειαν Bc || 23 την > A || 25 αδικ. αυτοις Bc] tr. B*†, αδ. αυτων A† | τοις εγκαθ.] εν τοις εγκαταλελιμμενοις A† || 26 μου $1^{0} \frown 2^{0}$ A† | και ult.] η BA† | προσγεν. προσηλ.] προσηλ. ο προσγεν. A || 27 και > B*A† || 28 τοις $1^{0}$] pr. εν A || 30 νομιμων] ανομων A | α M] ο BA | οτι > A†
19 3 αυτου $1^{0} \frown 2^{0}$ A† | φυλαξασθε A: item in 19. 37 || 5 δεκτην M] δεκατην BA || 9 υμων $2^{0} \frown 3^{0}$ B*A† | αγρου M] + σου BA | ου ult. > B*†